# TEZAUR LITURGIC

## 1 FEBRUARIE
## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA
# SF.IERARH-MĂRTURISITOR
# VASILE II,
# ARHIEPISCOPUL TESALONICULUI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 01 ΦΕΒΡΟΥΑΡΙΟΣ
# ΒΑΣΙΛΕΙΟΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Αἴγλῃ, οὐρανίων ἀρετῶν, λύσας τῶν παθῶν τὴν ὁμίχλην, τοῦ θείου Πνεύματος, Πάτερ τὴν ἐνέργειαν, ἐν τῇ καρδίᾳ σου, εἰσεδέξω Βασίλειε, καὶ Ἀρχιεράρχης, θεῖος ἐχρημάτισας, τῆς Ἐκκλησίας Χριστοῦ· ὅθεν, τὴν ἁγίαν σου μνήμην, Θεσσαλονικέων ἡ πόλις, ἄγει κατὰ χρέος εὐφημοῦσά σε.

Μύστης, καὶ θεόφρων φοιτητής, ἔρωτι τρωθεὶς τῷ ἁγίῳ, ὤφθης Βασίλειε, τοῦ λαμπρῶς ἐκλάμψαντος ἀσκητικαῖς ἀρεταῖς, Εὐθυμίου τοῦ μάκαρος, παρ’ οὗ ἐμυήθης, πᾶσαν θείαν μύησιν, τῆς ἐναρέτου ζωῆς· ὅθεν, σὺν αὐτῷ νῦν δυσώπει, ὑπὲρ τῆς παρούσης σου ποίμνης, τῆς ἐγκαυχωμένης τῇ σῇ χάριτι.

Ὤφθης, ποιμενάρχης εὐκλεής, ὡς πεπληρωμένος χαρίτων, τοῦ θείου Πνεύματος, Ἅγιε Βασίλειε, ἀρχιεράρχα Χριστοῦ, ἧς ὁ Παῦλος ἀνίδρυσε, Θεσσαλονικέων, Ἐκκλησίας Ὅσιε, λόγοις καὶ πράξεσι· ταύτην, γὰρ ὁσίως ποιμάνας, πρὸς τὴν Βασιλείαν τὴν ἄνω, καὶ ζωὴν τὴν ἄληκτον ὡδήγησας.

Σκῆνος, σοῦ κυκλοῦντες τὸ σεπτόν, ὃ ἡμῖν δεδώρηται ἄρτι, τῇ ἐπινεύσει Θεοῦ, μετὰ πολυχρόνιον ἐν γῇ κατάκρυψιν, ἐξ αὐτοῦ κομιζόμεθα, ἐν πίστει τελείᾳ, χάριν τε καὶ ἔλεος, ἀναβοῶντές σοι· Πρέσβευε, Βασίλειε Πάτερ, τῷ παμβασιλεῖ καὶ Σωτῆρι, ἱλασμὸν διδόναι ταῖς ψυχαῖς ἡμῶν.

*Δόξα. Ἦχος β'.*

Τὴν ἱερὰν στολήν ἐνδυσάμενος, ἀρχιερεὺς ὅσιος καὶ ἄκακος, κατὰ Παῦλον ἐχρηματίσας, θεοφόρε Βασίλειε. Καὶ τῆς θείας Βασιλείας, τὸ Εὐαγγέλιον ἱερουργήσας, ἐπάξιον τῶν καμάτων, τὸν μισθὸν ἐκομίσω, παρὰ τοῦ πάντων Βασιλέως Χριστοῦ, τοῦ παρέχοντος διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Προεόρτιον.*

Ὁ Κτίστης οὐρανοῦ καὶ γῆς, ἐν ἀγκάλαις ἐβαστάζετο, ὑπὸ Ἁγίου Συμεὼν τοῦ πρεσβύτου σήμερον. Αὐτὸς γὰρ ἐν Πνεύματι Ἁγίῳ ἔλεγε· Νῦν ἠλευθέρωμαι, εἶδον γὰρ τὸν Σωτῆρά μου.

*Εἰς τὸν Στίχον. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

Βίον τὸν θαυμαστόν, τοῦ θείου Εὐθυμίου, μιμούμενος θεόφρον, τῆς θείας ἐπιπνοίας, πεπλήρωσαι Βασίλειε.

Στ.: *Οἱ ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Ἴθυνας ἀσφαλῶς, τὴν Θεσσαλονικέων, ἁγίαν Ἐκκλησίαν, πρὸς τρίβους σωτηρίας, Βασίλειε τῷ λόγῳ σου.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Βρύει ἡ σὴ σορός, τῇ θείᾳ ἐπομβρίᾳ, ἁγιασμοῦ τὴν χάριν, Βασίλειε καὶ ἄρδει, ἡμᾶς Ἁγίῳ Πνεύματι.

*Δόξα. Τριαδικόν.*

Σύνθρονον τῷ Πατρί, καὶ Πνεύματι τὸν Λόγον, Βασίλειε κηρύξας, τὴν θείαν Μοναρχίαν, ὁμότιμον ἐδόξαζες.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε ἡ τὸν Χριστόν, ἀφράστως τετοκυῖα, Παρθένε Θεοτόκε, καὶ τὴν ἀρὰν ντὴν πάλαι, τῶν Προπατόρων λύσασα.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς σκεῦον ἐπάξιον τῶν ἱερῶν ἀρετῶν, θεράπων θερμότατος τοῦ Βασιλέως Χριστοῦ, ἐδείχθης Βασίλειε· ὅθεν Θεσσαλονίκη, ἡ περίβλεπτος πόλις, μέλπει σε Ἱεράρχα, ὡς σοφὸν ποιμενάρχην, ᾗ αἴτει οὐρανόθεν εἰρήνην καὶ ἔλεος.

*Δόξα. Καὶ νῦν. Ἀπολυτίκιον. Προεόρτιον.*

*Ἦχος α'. Χορός Ἀγγελικός*

Οὐράνιος χορός, οὐρανίων ἁψίδων, προκύψας ἐπὶ γῆς, καὶ φερόμενον βλέπων, ὡς βρέφος ὑπομάζιον, πρὸς ναὸν τὸν πρωτότοκον, πάσης κτίσεως, ὑπὸ Μητρὸς ἀπειράνδρου, προεόρτιον, νῦν σὺν ἡμῖν μελῳδοῦσι, φρικτῶς ἐξιστάμενοι.

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ’. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς τοῦ Πνεύματος σκήνωμα, Ἱεράρχης θεόληπτος, ἱερὲ Βασίλειε ἐχρημάτισας, καὶ τῷ Χριστῷ ὥσπερ ἄγγελος, ἐν γῇ ἱεράτευσας, καὶ ἐποίμανας σοφῶς, εὐσεβείας τοῖς δόγμασι, λόγῳ κρείττονι, Ἐκκλησίαν τὴν Θεσσαλονικέων· διὰ τοῦτό σου τὴν μνήμην, τὴν ἱερὰν ἄγει χαίρουσα.

Τῇ τοῦ βίου λαμπρότητι, καὶ δογμάτων ὀρθότητι, ἱερὲ Βασίλειε σεμνυνόμενος, ἀρχιερεὺς ἱερώτατος, ὡς μύστης οὐράνιος, καὶ τοῦ Παύλου μιμητής, ἀληθῶς ἀναδέδειξαι, καὶ προσήγαγες, ἀναιμάκτους θυσίας τῷ Κυρίῳ, καὶ τῆς ἄνω Βασιλείας, περιφανῶς κατηξίωσαι.

Ἐπιπνοίᾳ τῇ ἄνωθεν, τὴν στολὴν τὴν ὑπέρτιμον, ὡς φωτὸς ἀνάπλεως θείων πράξεων, ἱερωσύνης ἐνδέδυσαι, Βασίλειε Ὅσιε, καὶ τῷ πάντων Βασιλεῖ, ἀσφαλῶς καθοδήγησας, ἣν πεπίστευσαι, λογικὴν Πάτερ ποίμνην τοῖς σοῖς τρόποις, τῆς μελλούσης Βασιλείας, πᾶσιν ἐκφαίνων τὰς χάριτας.

Κοινωνὸς καὶ ὁμόζηλος, διανοίας θερμότητι, ὡς ποθήσας Κύριον ἐκ νεότητος, τοῦ ἐν μεγίσταις ἐκλάμψαντος, ἀρεταῖς γενόμενος, Εὐθυμίου τοῦ σοφοῦ, τῆς αὐτοῦ ἐπιλάμψεως, ὤφθης μέτοχος, καὶ

τῆς τούτου ἁγίας πολίτειας, διαγράφεις τοὺς ἀγῶνας, λόγων κομψότητι Ὅσιε.

Ὡς ποιμένα πανάριστον, Ἱεράρχα Βασίλειε, καὶ μεσίτην μέγιστον πρὸς τὸν Κύριον, Θεσσαλονίκη ἡ πόλις σου, τιμᾷ σε μακάριε, καὶ βοᾷ σοι ἐκ ψυχῆς· τὸν Σωτῆρα ἱκέτευε, πάσης θλίψεως, τὴν παροῦσαν μερίδα σου λυτροῦσθαι, σὺν τῷ θείῳ Δημητρίῳ, καὶ Γρηγορίῳ τῷ μάκαρι.

Τὴν σορὸν τῶν λειψάνων σου, θησαυρὸν ὡς πολύτιμον, ἡ σὴ ποίμνη Ὅσιε νεύσει κρείττονι, μετὰ χρονίαν κατάκρυψιν, τῷ τάφῳ ὡς εὕρατο, ἐπευφράνθη μυστικῶς, ᾗ καὶ πίστει προστρέχουσα, ἀνακράζει σοι· Ἱεράρχα Βασίλειε ἀπαύστως, τὸν Σωτῆρα ἐκδυσώπει, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

*Δόξα. Ἦχος β’.*

Τῷ θεοφόρῳ Εὐθυμίῳ φοιτήσας, καὶ συνήθης γενόμενος, τῆς ἐν Χριστῷ ζωῆς τὰς ἀναβάσεις, πρακτικῶς μεμύησαι, Βασίλειε Ὅσιε. Καὶ τῆς ἄνω Βσιλείας, τὸ φῶς δεξάμενος, πάσης ὑλικῆς ἀπέστης σχέσεως, πρὸς τὴν ἄϋλον γνῶσιν, τῶν μελλόντων ἀγαθῶν ἀναγόμενος· διὸ θείᾳ ψήφῳ, τὸν λαὸν τοῦ Θεοῦ ποιμαίνειν προκριθείς, Ἱεράρχης Ὅσιος ἐδείχθης, καὶ τῆς ἐν Θεσσαλονίκῃ Ἐκκλησίας, ποιμὴν θεοειδής· ἔνθεν κατὰ χρέος, Πάτερ γεραίρει τὴν μνήμην σου.

*Καὶ νῦν. Προεόρτιον.*

Σήμερον Συμεὼν ἐν ταῖς ἀγκάλαις, τὸν Κύριον τῆς δόξης ὑποδέχεται, ὃν ὑπὸ τὸν γνόφον πρώην ὁ

Μωϋσῆς ἐθεάσατο, ἐν τῷ ὄρει τῷ Σινᾶ, πλάκας δόντα αὐτῷ. Οὗτός ἐστιν, ὁ ἐν τοῖς Προφήταις λαλῶν, καὶ τοῦ νόμου Ποιητής· οὗτός ἐστιν ὃν ὁ Δαυῒδ καταγγέλλει, ὁ τοῖς πᾶσι φοβερός, ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ’ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν.

Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. .(Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία.

Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. .(Κεφ. ζ΄.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Τῶν ἀρετῶν τὸν ἀγρόν, πρακτικῶς γεωργήσας, τῆς εὐσεβείας τοὺς καρπούς προήγαγες, τῇ ποίμνῃ σου Πάτερ. Δικαιοσύνην γὰρ ἀληθῆ, καὶ ἀπάθειαν ψυχῆς, καὶ ἐναρέτων ἔργων ἐπίδειξιν, περιεποιήσω Βασίλειε. Καὶ τὸ δοθέν σοι αὐξήσας τάλαντον, τῆς ἄνω Βασιλείας ἠξίωσαι, ὡς ταύτης ἐπώνυμος. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου, Ἱεράρχα μακάριε.

*Ἦχος β΄.*

Ὡς βασίλειον κόσμον, τὴν ἱερατικὴν στολὴν ἀμφιασάμενος, λαμπροτέραν ταύτην εἰργάσω, ταῖς

ἐναρέτοις πράξεσιν, Ἱεράρχα Βασίλειε· ὅλον γὰρ σαὐτὸν δέδωκας, ἐν τῇ διακονίᾳ τοῦ θείου θελήματος, ὑπεραρθεὶς τῶν φθαρτῶν· καὶ τὴν ψυχὴν τιθεὶς ὑπὲρ τῶν προβάτων, πρὸς τὴν οὐράνιον μάνδραν, ταῦτα ὡδήγησας, ὡς ποιμὴν ἀληθινός. Καὶ νῦν τῶν πόνων τὰς ἀμοιβὰς δεχόμενος, ἀδιαλείπτως πρεσβεύε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Φερωνύμως βασιλεύσας τοῦ χείρονος, τοῦ οὐρανίου Βασιλέως θεράπων, ἀνεδείχθης Πάτερ Βασίλειε. Καὶ τῆς ἄνω Βασιλείας τὰ μυστήρια, εἰς τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, ἐν προοιμίῳ ἐκφαίνεις, ὡς ἐν ἐσόπτρῳ νοητῷ, τῇ τῆς ζωῆς καθαρότητι. Ἀποστόλων γὰρ ὤφθης μιμητής, καὶ ἱερέων λαμπρότης, καὶ Θεσσαλονίκης στῦλος καὶ ἑδραίωμα, ὡς Ἱεράρχης θεόληπτος. Καὶ νῦν ἱλέωσαι Χριστόν, ἡμῖν τοῖς πόθῳ τιμῶσί σε.

*Δόξα. Ἦχος δ΄.*

Τὸν ἐν Ὁσίοις Ἱεράρχην, καὶ τοῦ Εὐαγγελίου ἐργάτην δόκιμον, Βασίλειον τὸν ἱερώτατον, πᾶν τὸ τοῦ Χριστοῦ βασίλειον ἱεράτευμα, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν. Θείᾳ γὰρ βουλῇ, τῆς Θεσσαλονικέων προέστη Ἐκκλησίας, καὶ τύπον καὶ παράδειγμα, τῶν ἔργων τῆς χάριτος, ἑαυτὸν ἐν ταύτῃ παρεστήσατο. Καὶ νῦν τῆς ἄνω Βασιλείας λαβὼν τὸ δηνάριον, ἄφεσιν πταισμάτων αἰτεῖται ἡμῖν, καὶ τὸ θεῖον ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Σήμερον ἡ Ἱερὰ Μήτηρ, καὶ τοῦ Ἱεροῦ ὑψηλοτέρα, ἐπὶ τὸ Ἱερὸν παραγέγονεν, ἐμφανίζουσα τῷ κόσμῳ, τὸν τοῦ κόσμου Ποιητήν, καὶ νόμου πάροχον, ὃν καὶ ἐν ἀγκάλαις ὑποδεξάμενος, ὁ πρεσβύτης Συμεών, γεραίρων ἐκραύγαζε. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, ὅτι εἶδόν σε τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Βίῳ, διαλάμπων ἱερῷ, θεῖος Ἱεράρχης ἐδείχθης, τῆς Ἐκκλησίας Χριστοῦ, Ἅγιε Βασίλειε, Θεσσαλονίκης λαμπτήρ, καὶ Θεῷ ἱεράτευσας, ὡς ἄγγελος Πάτερ, φέρων τῷ παντάνακτι, καρπὸν πολὺν ἀληθῶς· ὅθεν, τὴν ἁγίαν σου μνήμην, ἐν ἀγαλλιάσει τελοῦντες, τὰ σὰ προτερήματα γεραίρομεν.

Στ.: *Οἱ ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Ὄντως, βασιλεύσας ἐν Χριστῷ, κατὰ τῶν παθῶν τῆς κακίας, δι’ ἐγκρατείας πολλῆς, Ἅγιε Βασίλειε, τοῦ ὑπὲρ νοῦν φωτισμοῦ, ἠξιώθης τῆς χάριτος, καὶ ἡ σὴ καρδία, οἶκος ἀναδέδεικται, τοῦ θείου Πνεύματος· ὅθεν, τὴν σὴν εὔφρανας ποίμνην, ἐν τῇ τῶν καλῶν μεταδόσει, τῶν πλημμυριζόντων τὴν καρδίαν σου.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Λόγῳ, καὶ σοφίᾳ ἀληθεῖ, τῆς Ὀρθοδοξίας διδάσκεις, Πάτερ τὰ δόγματα, καὶ ἠθῶν σεμνότητα, καὶ βίον ἔνθεον· πρακτικὸς γὰρ διδάσκαλος, τοῖς πᾶσιν

ἐφάνης, ἐν Ἁγίῳ Πνεύματι, μυσταγωγούμενος· ὅθεν, μετὰ τέλος τὸ θεῖον, τῆς τῶν οὐρανῶν Βασιλείας, κληρονόμος γέγονας Βασίλειε.

*Δόξα. Ἦχος πλ. β΄.*

Ὅσιε Πάτερ, Ἱεράρχα Βασίλειε, δι' ἀσκητικῆς πολιτείας, τὸν νοῦν καθαγνίσας, τοῦ θεοφόρου Εὐθυμίου, φυτεία ὤφθης κατάκαρπος. Καὶ ἐπὶ καθέδρας πρεσβυτέρων, προφητικῶς αἰνέσας τὸν Κύριον, ἄξιος ἐργάτης ὤφθης, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, καὶ ἀρχιερέων λύχνος φαεινός. Ἀλλ' ὡς τῷ θρόνῳ τοῦ Χριστοῦ παρεστηκώς, καὶ τῆς ἀποῤῥήτου δόξης ἀπολαύων, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Προεόρτιον.*

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς, τὴν σήμερον ἡμέραν, ὡς ἐφ' ἅρματος Χερουβίμ, ἀνακλιθῆναι εὐδοκήσας Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τῶν παθῶν τυραννίδος, ἀνακαλούμενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς σκεῦον ἐπάξιον τῶν ἱερῶν ἀρετῶν, θεράπων θερμότατος τοῦ Βασιλέως Χριστοῦ,ἐδείχθης Βασίλειε· ὅθεν Θεσσαλονίκη, ἡ περίβλεπτος πόλις, μέλπει σε Ἱεράρχα, ὡς σοφὸν ποιμενάρχην, ᾗ αἴτει οὐρανόθεν εἰρήνην καὶ ἔλεος.

*Δόξα. Καὶ νῦν. Ἀπολυτίκιον. Προεόρτιον. Ἦχος α'. Χορός Ἀγγελικός*

Οὐράνιος χορός, οὐρανίων ἁψίδων, προκύψας ἐπὶ γῆς, καὶ φερόμενον βλέπων, ὡς βρέφος ὑπομάζιον, πρὸς ναὸν τὸν πρωτότοκον, πάσης κτίσεως, ὑπὸ Μητρὸς ἀπειράνδρου, προεόρτιον, νῦν σὺν ἡμῖν μελῳδοῦσι, φρικτῶς ἐξιστάμενοι.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Τὴν μνήμην σου σοφέ, τὴν ἁγίαν τελοῦντες, ὡς μύστην σε Χριστοῦ, καὶ θεράποντα θεῖον, καὶ ὄργανον πολύτιμον, ἐπιπνοίας τοῦ Πνεύματος, μακαρίζομεν, καὶ εὐλαβῶς σοι βοῶμεν· ἀεὶ πρέσβευε, ὑπὲρ ἡμῶν τῷ Κυρίῳ, Βασίλειε Ὅσιε.

*Δόξα. Καὶ νῦν. Προεόρτιον.*

Ὁ ὢν σὺν τῷ Πατρί, ἐπὶ θρόνου ἁγίου, ἐλθὼν ἐπὶ τῆς γῆς, ἐκ Παρθένου ἐτέχθη, καὶ βρέφος ἐγένετο, χρόνοις ὢν ἀπερίγραπτος, ὃν δεξάμενος, ὁ Συμεὼν ἐν ἀγκάλαις, χαίρων ἔλεγε· Νῦν ἀπολύεις οἰκτίρμον, εὐφράνας τὸν δοῦλόν σου.

*Μετὰ τὴν β' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε*

Σοφῶς ἱεράτευσας τῷ ἐπὶ πάντων Θεῷ, Βασίλειε Ὅσιε ἀρχιερεὺς πεφηνώς, τῆς θείας χρηστότητος·

βίου γὰρ διαλάμπων, καθαρότητι Πάτερ, ὤφθης τῶν εὐσεβούντων, παιδευτὴς θεοφόρος· καὶ νῦν τοῖς εὐφημοῦσί σε, δίδου τὰ πρόσφορα.

*Δόξα. Καὶ νῦν. Προεόρτιον.*

Σαρκὶ νηπιάσαντα ἐξ ἀπειράνδρου Μητρός, χερσὶ γηραλέαις σου, ἀγκαλισθεὶς Συμεών, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἔλαβες τῆς ἐξόδου, τὴν ἀπόφασιν δόξῃ, εἴληφας τῶν θαυμάτων, τὴν ἀέναον χάριν· διὸ σε ἀξιοχρέως πάντες δοξάζομεν.

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.*

Εὐσεβείας τοῖς τρόποις καλλωπιζόμενος, πρὸς ἀρετῶν κατευθύνεις Πάτερ τὰς τρίβους σοφῶς, τὸν λαὸν τὸν τοῦ Θεοῦ τὸν περιούσιον, καὶ τῶν παθῶν τὰς ἀφορμάς, ἀποτρέπεις ὁλικῶς, ὡς θεῖος ἀρχιεράρχης, Βασίλειε θεηγόρε, ἡμῶν μεσῖτα πρὸς τὸν Κύριον.

*Δόξα. Καὶ νῦν. Προεόρτιον.*

Ἐν ἀγκάλαις κρατοῦσα καθάπερ νήπιον, τὸν ὑπερούσιον Λόγον ἡ Θεοτόκος ἁγνή, τῷ πρεσβύτῃ Συμεὼν προσφέρει χαίρουσα, ἀναμένοντι αὐτόν, καὶ βοῶντι εὐλαβῶς· ἀπόλυσόν με οἰκτίρμον, ὅτι ηὐδόκησας Σῶτερ, ἐνθρονισθῆναι ταῖς ἀγκάλαις μου.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Οἱ ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Εὐαγγέλιον, Ἱεραρχικόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τῆς Βασιλείας τοῦ Θεοῦ, ἐκφαίνων τὴν ἔλλαμψιν, ἔργῳ τὴν κλῆσιν ἐσφράγισας, Ἱεράρχα Βασίλειε· ἡ γὰρ λαμπρότης τῆς ζωῆς, καὶ ἡ περὶ πάντων ἐπιμέλεια, ὡς ἂν Χριστῷ εὐαρεστήσῃς, ιεπειδῆ ἐν πᾶσί σε ἔδειξαν, καὶ Ἀποστόλων μιμητήν. Καὶ νῦν τοῦ ξύλου τῆς ζωῆς κατατρυφῶν, ἀπαύστως ἱκέτευε, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Εἶτα, οἱ Κανόνες· ὁ Προεόρτιος καὶ τοῦ Ἁγίου.

*Κανὼν Προεόρτιος. Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.*

*Ἄσομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ὡδήγησας λαόν, ἐν μέσῳ τῆς θαλάσσης, ἐκάλυψας δὲ ἅρματα Φαραὼ καὶ τὴν δύναμιν.*

Ἄσομαί σοι Κύριε ὁ Θεός μου, τῷ νηπιάσαντι σαρκί, καὶ νόμῳ ὑπακούσαντι, καὶ σώσαντι τὸν ἄνθρωπον, δι' ὃν γέγονας ἄνθρωπος.

Ἀγκάλαις δεξάμενος ὁ Πρεσβύτης, τὸν ζωοδότην καὶ Θεόν, τῆς ζωῆς ἀπελύετο βοῶν· Νῦν ἀπολύεις με, κατεῖδον γάρ σε σήμερον.

Τοῖς νόμοις τῆς φύσεως ὑπακούεις, καὶ τοῦ Γράμματος θεσμοῖς, κατὰ νόμον ὑπείκεις Χριστέ, ὁ πρὶν ὑπαγορεύσας μοι τὸν νόμον, ἐν τῷ ὄρει Σινᾷ.

*Θεοτοκίον*

ᾌσομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐτέχθης ἐκ Μητρός, Παρθένου ἁγίας, καὶ ταύτην ἀνέδειξας, ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Βασίλειε, δέξαι τόνδε ὕμνον. Γερασίμου.*

*ᾨδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.*

Βασίλειον Δέσποτα, τὸ ἱερόν Σου θεράποντα, ὑμνῆσαι προθέμενος, χάριν αἰτοῦμαι τὴν Σήν, ἣν παράσχου μοι, ὡς εὔσπλαγχνος οἰκτίρμον, καὶ μέλψω γηθόμενος, τούτου τὰς χάριτας.

Ἁπάσης ἐξέκλινας, ἀπὸ νεότητος Ὅσιε, ὑλώδους ἐμφάσεως, πρὸς τὴν ἀγάπησιν, ἀναγόμενος, τοῦ πάντων Βασιλέως, Βασίλειε ἔνδοξε, βίου λαμπρότητι.

Σαρκὸς ἅπαν φρόνημα, ἀπονεκρώσας Βασίλειε, ψυχὴν ἀνεπτέρωσας, πρὸς τὰ οὐράνια, καὶ ὡς ἄγγελος, ἐβίωσας ἐν κόσμῳ· διὸ τὴν ἰσάγγελον, εὗρες φαιδρότητα.

*Θεοτοκίον*

Ἰλύος με λύτρωσαι, τῆς τῶν παθῶν τῇ Σῇ χάριτι, καὶ δίδου μετάνοιαν, τῇ ταπεινῇ μου ψυχῇ, ὡς ἂν μέτοχος, ζωῆς τῆς αἰωνίου, γενήσομαι πάναγνε, ταῖς ἱκεσίαις Σου.

*Καταβασία.*

*Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσέ ποτε· ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι. ᾌσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.*

*Προεόρτιος. Ὠδὴ γ' Ὁ Εἱρμός.*

*Ἐν Κυρίῳ Θεῷ μου, ἐστερεώθη ἡ καρδία μου· διὸ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.*

Ἀνοιγέσθω ὁ ναός· ὁ τοῦ Θεοῦ γὰρ νῦν ἐπέστη ναός, ναοὺς ἡμᾶς ποιῆσαι, τοῦ ἁγίου αὐτοῦ Πνεύματος.

Νῦν παρῆλθεν ἡ σκιά, καὶ ἀντεισήχθη ἡ ἀλήθεια, τῆς χάριτος ἐλθούσης, νῦν ὑποδέχου τὸν Χριστὸν Συμεών.

Χήρα, Ἄννα σώφρων, ἡ μεμονωμένη καὶ γνωστὴ τῷ Θεῷ, νῦν ἀνθομολογείτω, τῷ νηπιάσαντι σαρκὶ δι' ἡμᾶς.

*Θεοτοκίον*

Τὴν Θεομήτορα Παρθένον, ὀρθοδόξως ἀνυμνήσωμεν· πρεσβεύει γὰρ ἀπαύστως, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

*Τοῦ Ἁγίου. Τοὺς Σοὺς ὑμνολόγους.*

Λαμπόμενος φέγγει ἀκηράτῳ, Βασίλειε θείων ἀρετῶν, ὡς κοινωνὸς καὶ μέτοχος, τοῦ Εὐθυμίου Ἅγιε, τοῦ ἐν ἀσκήσει λάμψανος, σκεῦος τῆς χάριτος γέγονας.

Ἐχρίσθης ἐν Πνεύματι Ἁγίῳ, τῇ ψήφῳ θεόφρον τοῦ Θεοῦ, καὶ Ἱεράρχης ἔνθεος, καὶ πρόεδρος θεόληπτος, Θεσσαλονίκης πέφηνας, Πάτερ Βασίλειε Ὅσιε.

Ἰθύνας πρὸς χλόην εὐσεβείας, καὶ ὕδωρ ζωῆς τῆς καθαρᾶς, τὴν ποίμνην σου Βασίλειε, οἷα ποιμὴν θεόσοφος, Κυρίῳ εὐηρέστησας, τῷ Βασιλεῖ τῶν Δυνάμεων.

*Θεοτοκίον*

Ἐκ Σοῦ σαρκωθεὶς ὡς ἠβουλήθη, ὁ πάντων Θεὸς καὶ Ποιητής, ἀναλλοιώτως ἄχραντε, φθορᾶς ἡμᾶς ἐῤῥύσατο, καὶ τὴν ἀρχαίαν ἔλυσεν, ἀρὰν δι’ ἔλεος ἄφατον.

*Καταβασία.*

*Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω, τῷ τιμίῳ σου αἵματι.*

*Κάθισμα. Ἦχος γ’. Θείας πίστεως.*

Θείῳ Πνεύματι, Θεσσαλονίκης, ποιμὴν ἔνθεος, σαφῶς ἐδείχθης, Ἱεράρχα παμμάκαρ Βασίλειε, καὶ τὸν λαόν σου ὁσίως ἐποίμανας, ἐπὶ νομὰς σωτηρίας καὶ πίστεως. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Προεόρτιον.*

Βρέφος δέχεται, ἐν ταῖς ἀγκάλαις, τὸν παντέλειον, Θεὸν καὶ Κτίστην, ὁ πρεσβύτης Συμεὼν ἀγαλλόμενος· ὅθεν ναὸς τῆς αὐτοῦ ἐπελεύσεως, ἡμῶν τὸν νοῦν καταστήσωμεν κράζοντες· Σῶτερ εὔσπλαγχνε,

ὑμνοῦμεν τὴν σὴν χρηστότητα, ἑκὼν γὰρ δι’ ἡμᾶς ἐνηπίασας.

*Προεόρτιος. Ὠδὴ δ'. Ὁ Εἱρμός*

*Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψε, καὶ ἡ γῆ ἐπληρώθη τῆς σῆς δόξης Χριστέ· διὸ ἀπαύστως κράζομεν. Δόξα τῇ δυνάμει σου Κύριε.*

Αἱ τάξεις τῶν Ἀγγέλων ἐξεπλάγησαν, ἐν ταῖς ἀγκάλαις τοῦ Πρεσβύτου θεασάμεναι, τὸν σὺν Πατρὶ καὶ Πνεύματι ὑμνούμενον, ὡς Υἱὸν καὶ Θεὸν ἡμῶν.

Τὸ ἡμῶν ἀτελὲς οἰκειούμενος, ὁ παντέλειος Θεός, τῇ κατὰ νόμον προσαγωγῇ, τὸ τέλειον τῆς χάριτος ἡμῖν ἐδωρήσατο.

Ὡς βρέφος ἐν ἀγκάλαις δεχόμενος, καὶ Θεὸν τῷ πνεύματι θεώμενος, ὁ Συμεὼν σωτήριον τοῦ κόσμου, τὸν Χριστὸν ἀνεκήρυττε.

Μωσέως τιμιώτερος γέγονας, τοῦ δεξαμένου νόμον ἐν τῷ ὄρει Σινᾷ, ὅτι Χριστὸν τὸν Κύριον ἀγκάλαις σου Πρεσβύτα ἐβάστασας.

*Θεοτοκίον*

Ἡ Ἄννα προφητεύουσα τὸ μέλλον, τὸν ἐκ τῆς μήτρας σου Θεὸν προανηγόρευσε· διὸ ἀπαύστως πρέσβευε, σωθῆναι Θεομῆτορ τοὺς δούλους σου.

*Τοῦ Ἁγίου. Τὴν ἀνεξιχνίαστον θεία βουλήν.*

Δύναμιν θεόθεν καὶ χάριν λαβών, τῇ καθαρωτάτῃ καρδίᾳ σου, ψυχῶν καθαίρεις, λόγῳ σου καθαρτικῷ,

τοὺς μώλωπας Βασίλειε, ὥσπερ ποιμενάρχης θεόσοφος.

Ἔσχες ἐν καρδίᾳ σου Πάτερ σοφέ, τὴν τοῦ Παρακλήτου ἐνέργειαν, καὶ τῶν δαιμόνων, ἐνεργείας ζοφεράς, ἀπήλασας Βασίλειε, ὡς τῶν Ἀποστόλων ὁμότροπος.

Ξύλου ἀπολαύων τοῦ τῆς ζωῆς, Πάτερ ὡς τῶν τῇδε μεθέστηκας, ἀεὶ δυσώπει, ἐκ θανάτου ψυχικοῦ, λυτροῦσθαι τοὺς τῇ σκέπῃ σου, Ἅγιε Βασίλειε σπεύδοντας.

*Θεοτοκίον*

Ἄχραντε πανάμωμε Μῆτερ Θεοῦ, τὴν καταχρανθεῖσαμ τοῖς πάθεσι, ψυχήν μου πλῦνον, ῥείθροις τοῖς καθαρτικοῖς, τῶν μητρικῶν δεήσεων, πρὸς τὸν Σὸν Υἱὸν καὶ Θεὸν ἡμῶν.

*Καταβασία.*

*Ἐκάλυψεν οὐρανούς, ἡ ἀρετή σου Χριστέ· τῆς κιβωτοῦ γὰρ προελθώ ν,τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρός, ἐν τῷ ναῷ τῆς δόξης σου, ὤφθης ὡς βρέφος, ἀγκαλοφορούμενος, καὶ ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως.*

*Προεόρτιος. Ὠδὴ ε' Ὁ Εἱρμός.*

*Ὁ ἀνατείλας τὸ φῶς, καὶ φωτίσας τὸν ὄρθρον, καὶ δείξας τὴν ἡμέραν, δόξα σοι Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ, φιλάνθρωπε δόξα σοι.*

Ἐν τῇ τοῦ νόμου σκιᾷ, τὸν τῆς χάριτος λόγον, τρανῶς ἐχρηματίσθη, Συμεὼν ὁ δίκαιος, σωματικῶς τὸν Χριστὸν δεξάμενος.

Οὗτος εἰς πτῶσιν φησί, καὶ ἀνάστασιν κεῖται, εἰς πτῶσιν τῶν ἀπίστων, καὶ πιστῶν ἀνάστασιν, ὁ Συμεών, ἄρτι προεφήτευσε.

*Θεοτοκίον*

Θεοκυῆτορ Ἁγνή, τὸν Υἱόν σου δυσώπει, λυτρώσασθαι κινδύνων, καὶ πάσης περιστάσεως, τοὺς σὲ δοξάζοντας, Θεοτόκε ἄχραντε.

*Τοῦ Ἁγίου. Ἐξέστη τὰ σύμπαντα.*

Ἰσχύϊ νευρούμενος, τοῦ Παναγίου Πνεύματος, ὤφθης Ἱεράρχης θεοφόρος, τῆς Ἐκκλησίας Χριστοῦ Βασίλειε, καὶ πρὸς Βασιλείαν οὐρανβῶν, ἴθυνας τῷ λόγῳ σου, τοὺς πιστῶς πειθομένους σοι.

Τὸν βίον σου Ὅσιε, τῷ Βασιλεῖ τῆς κτίσεως, ὥσπερ προσφορὰν καθαρωτάτην, ἐν εὐλαβείᾳ πάσῃ προσήγαγες· ὅθεν Βασιλείας οὐρανῶν, μέτοχος γεγένησαι, μετὰ τέλος τὸ ἅγιον.

Ὁ νοῦς σου δεχόμενος, τὰς ἀποῤῥοίας Ὅσιε, τῆς ὑπερκοσμίου φωταυγείας, τῶν ἐν τῷ κόσμῳ πάντων ἠλόγησε, καὶ πρὸς μετοχὴν τῶν ὑπὲρ νοῦν, ἀγαθῶν ἐπτέρωσε, τῶν πιστῶν τὴν διάνοιαν.

*Θεοτοκίον*

Ναὸς φωτοστόλιστος, καὶ καθαρὸν παλάτιον, τοῦ παμβασιλέως καὶ Δεσπότου, ὤφθης Παρθένε σωματωθέντος ἐκ Σοῦ· ὅθεν τὴν καρδίαν μου ἁγνή, ταῖς Σαῖς ἐπιλάμψεσι, παθῶν ῥῦσαι ζοφώσεως.

*Καταβασία.*

*Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ Θεόν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον, ὢ τάλας! ἐβόα, ἐγώ· πρὸ γὰρ εἶδον σωματούμενον Θεόν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.*

*Προεόρτιος. Ὠδὴ ς'. Ὁ Εἱρμός.*

*Ὡς Ἰωνᾶν τὸν προφήτην, ἐλυτρώσω τοῦ κήτους, Χριστὲ ὁ Θεός, κἀμὲ τοῦ βυθοῦ πταισμάτων, ἀνάγαγε καὶ σῶσόν με, μόνε φιλάνθρωπε.*

Ἐχρηματίσθη Πρεσβύτης, μὴ θανεῖν, πρὶν ἰδεῖν τὸν Δεσπότην Χριστόν, ἀγκάλαις δὲ σήμερον φέρει, καὶ τοῦτον προσδεικνύει, παντὶ τῷ λαῷ Ἰσραήλ.

Τὸν ποιητὴν τῶν αἰώνων, ὁ Πρεσβύτης ὡς βρέφος δεξάμενος, Θεὸν προαιώνιον ἔγνω, καὶ φῶς ἐθνῶν, καὶ δόξαν, τοῦ Ἰσραήλ τόν Χριστόν.

Νῦν Συμεων προφητεύει, νῦν ἡ Ἄννα ἀνθομολογεῖ τῷ Θεῷ, ὁ μὲν τῇ Μητρὶ καὶ Παρθένῳ, ἡ δὲ τὸ ἐκ Παρθένου ἀναδειχθέντι σαρκί.

*Θεοτοκίον*

Ὢ μακαρία κοιλία, πόθεν ταύτην τὴν δόξαν ἐβλάστησας; Θεὸς τὸ τεχθὲν ὢ Παρθένε, καὶ φῶς ἐθνῶν, καὶ δόξα καὶ ἀπολύτρωσις.

*Τοῦ Ἁγίου. Τὴν θείαν ταύτην.*

Δοχεῖον ὤφθης ὑπέρτιμον, ζωῇ τῇ ἰσαγγέλῳ Βασίλειε, τοῦ θείου Πνεύματος, καὶ καθαρῶς ἱερούργησας, ζωῆς τῆς αἰωνίου, τὸ Εὐαγγέλιον.

Ἐνδεδυμένος Βασίλειε, τῆς ἀρχιερωσύνης τὸ ἔνδυμα, μεσίτης πέφηνας, ὡς ἀληθῶς ἀξιόθεος, ἡμῶν πρὸς τὸν Σωτῆρα, καὶ πάντων Κύριον.

Ὕψωσον Πάτερ τὰς χεῖράς σου, Χριστὸν διαπαντὸς ἱλεούμενος, ὡς συμπαθέστατος, καὶ ποιμενάρχης θεόληπτος, τοῖς Θεσσαλονικεῦσιν, ὑμνολογοῦσί σε.

*Θεοτοκίον*

Μῆτερ Θεοῦ ἀειπάρθενε, ἁγνείας πανυπέραγνον σκήνωμα, τὸν νοῦν μου ἅγνισον, καὶ καθαρὸν αυτὸν τήρησον, ἐκ πάσης ἐμπαθείας, καθικετεύω Σε.

*Καταβασία.*

*Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη· Ἐκ Θεοῦ Χριστὲ σὺ Θεός μου.*

*Κοντάκιον. Ἦχος β΄. Τοὺς ἀσφαλεῖς.*

Ἀρχιερεὺς τῆς Ἐκκλησίας ὅσιος, τῇ ἐκλογῇ τῇ θεϊκῇ γενόμενος, τοῖς σοῖς ἔργοις κατεκόσμησας, καὶ ἠθῶν τῇ τελειότητι, τῶν Θεσσαλονικέων τὴν Μητρόπολιν, Βασίλειε Ἀγγέλων ἰσοστάσιε· διὸ κατὰ χρέος σε γεραίρομεν.

*Ὁ Οἶκος.*

Τοῦ Εὐθυμίου τοῦ κλεινοῦ, ἐν ἀσκηταῖς μεγίστου, τοῖς ἴχνεσιν ἀκολουθῶν, πλοῦτος ὁσίων ἀρετῶν, καὶ ἐκμαγεῖον τῆς αὐτοῦ, ἐδείχθης πολιτείας, Βασίλειε μακάριε. Καὶ πρὸς τὴν ἄνω Βασιλείαν ὁλοσχερῶς ἀφορῶν, ὑπερόπτης τῶν ἐν κόσμῳ ἀνεφάνης, καὶ γηΐνων φρονημάτων ὑπέρτερος, Ἀγγέλοις ἁμιλλώμενος, καθαρωτάτῃ ζωῇ, καὶ τῶν θείων δωρεῶν

τὰς διαδόσεις δεχόμενος, ἐν τῇ καρδίᾳ Πάτερ. Καὶ βουλῇ τῇ θείᾳ ἀρχιερωσύνης κοσμηθεὶς τῷ ἐνδύματι, τῆς τῶν Θεσσαλονικέων ἁγίας προέστης Ἐκκλησίας, ὑποτύπωσις τοῖς πᾶσι γενόμενος, ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀναστροφῇ, ὡς ποιμὴν ἀληθινός, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ εἰκών· διὸ κατὰ χρέος σε γεραίρομεν.

*Συναξάριον*

Τῇ Α' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου ὁμολογητοῦ Βασιλείου, Ἀρχιεπισκόπου Θεσσαλονίκης.

*Ὀρθῶς σὸν λαὸν Βασίλειε ποιμάνας,*
*ὄντως ἐβασίλευσας ἐκ τῶν πραγμάτων.*
*Φεβρουαρίοιο πρώτῃ Βασίλειος θέσκελος θάνε.*

*Προεόρτιος. Ὠδὴ ζ'. Ὁ Εἱρμός.*

*Ὁ τῶν Πατέρων Θεός, μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ δώρησαι ἡμῖν, ἐν παῤῥησίᾳ βοᾶν σοι· Εὐλογητὸς εἶ ὁ Θεός.*

Ὁ ἐνοικήσας Θεός, ἐν γαστρὶ τῆς Παρθένου, ἐν ἀγκάλαις Συμεών, ὥσπερ ἐν θρόνῳ πυρίνῳ, σήμερον ἐνθρονίζεται.

Σὺ τὸ γεῶδες ἡμῶν, προσλαβόμενος Λόγε, ἐνηπίασας σαρκί, καὶ νομικῶν καθαρσιῶν, μετέσχες ὥσπερ νήπιον.

Ἡ σώφρων Ἄννα ἡμῖν, προφητεύει τὸ μέλλον, καὶ προλέγει μυστικῶς, τὴν τῶν ἐθνῶν προσδοκίαν, καὶ Ἰσραὴλ τὴν λύτρωσιν.

*Θεοτοκίον*

Χαῖρε ἡ ἄσπορος γῆ, ἡ τὸν Λόγον ἐκ μήτρας, δίχα σπέρματος ἀνδρός, σεσαρκωμένον τεκοῦσα, ἡ σκέπη τῶν ψυχῶν ἡμῶν.

*Τοῦ Ἁγίου. Ὁ διασώσας ἐν πυρί.*

Νόμοις Θεοῦ καθοδηγῶν, καὶ θεοπρεπῶς κατευθύνων, ἐπὶ νομὰς τὰς ζωτικάς, τὴν λαχοῦσάν σοι ποίμνην Βασίλειε, σὺν αὐτῇ Πάτερ ἔψαλλες· ὁ Θεὸς ὁ τῶν Πατέρων, εὐλογητὸς εἶ.

Ὁλολαμπῆ Πάτερ μονήν, καὶ δοχεῖον θεῖον τελέσας, τὴν σὴν καρδίαν τῷ Χριστῷ, τῇ Αὐτοῦ ἀναλήψει ἀνήγειρας, Μονὴν θείαν ἐν Ἄθωνι, σωζομένην τῇ σῇ κλήσει ἄχρι τῆς δεῦρο.

Νοῦν ἀνυψώσας τῷ Χριστῷ, εἵλκυσας τῇ ποίμνῃ σου Πάτερ, τῆς Βασιλείας τοῦ Θεοῦ, τὰς ἐλλάμψεις Βασίλειε Ὅσιε, καὶ πολλοὺς ἀπεκάθηρας, ἐκ τοῦ ῥύπου τῷ σῷ λόγῳ τῆς ἁμαρτίας.

*Θεοτοκίον*

Γέφυρα ὤφθης νοητή, τὸν Χριστὸν τεκοῦσα Παρθένε, πρὸς τὴν αἰώνιον ζωήν, μεταφέρουσα τοὺς πίστει βοῶντάς Σοι· χαῖρε Κόρη πανύμνητε, προστασία τῶν ἀνθρώπων καὶ σωτηρία.

*Καταβασία.*

*Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ, ἀκηράτῳ, ἐνοικήσαντα, Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳδοῦντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.*

*Προεόρτιος. Ὠδὴ η΄. Ὁ Εἱρμός.*

*Τὸν Βασιλέα Χριστόν, ὃν ὡμολόγησαν οἱ αἰχμάλωτοι Παῖδες, ἐν τῇ καμίνῳ λέγοντες μεγάλῃ τῇ φωνῇ· Πάντα τὰ ἔργα ὑμνεῖτε ὡς Κύριον.*

Τὸν δι' ἡμᾶς καθ᾽ ἡμᾶς, βρέφος γενόμενον, ὑπὸ νόμον ἀχθέντα, ἵνα τοῦ νόμου πάντας ἀπαλλάξῃ τοῦ γραπτοῦ, πάντα τὰ ἔργα ὑμνεῖτε ὡς Κύριον.

Ἰδὼν σε φῶς ὡς νοερόν, Συμεὼν ὁ πρεσβύτης, ἀγκάλαις ὑπεδέξατο βοῶν· Νῦν ἀπολύεις με Λόγε, πρὸς τὴν ἐν τῷ πνεύματι, ζωὴν ἐκ τῆς προσκαίρου.

Τὸν πρὸ αἰώνων Θεόν, τὸν εὐδοκήσαντα δι' ἡμᾶς νηπιάσαι, καὶ ἐν χερσὶ δεχθῆναι τοῦ πρεσβύτου Συμεών, πάντα τὰ ἔργα ὑμνεῖτε ὡς Κύριον.

*Θεοτοκίον*

Τὸν Βασιλέα Χριστόν, ὃν ἡμῖν ἔτεκεν ἡ Παρθένος Μαρία, καὶ μετὰ τόκον ἔμεινε Παρθένος ἁγνή, πάντα τὰ ἔργα ὑμνεῖτε ὡς Κύριον.

*Τοῦ Ἁγίου. Λυτρωτὰ τοῦ παντός.*

Ἐντολαῖς τοῦ Κυρίου ἐποίμνας, τὴν λαχοῦσάν σοι ποίμνην Βασίλειε· διὸ Θεσσαλονίκη σε, εὐχαρίστως γεραίρει, τὴν σὴν μνήμην, Ἱεράρχα λαμπρῶς ἑορτάζουσα.

Ῥεῖθρον ἄϋλον πρόεισι πάντοτε, ἐπομβρίᾳ τῇ θείᾳ Βασίλειε, ἐκ τῆς τιμίας θήκης σου, μυστικῶς ἁγιάζον, τοὺς μετὰ φόβου, προσιόντας αὐτῇ καὶ ὑμνοῦντάς σε.

Ἀμοιβὰς αἰωνίους δρεπόμενος, ὡς Χριστοῦ Ἱεράρχης Βασίλειε, σὺν ἅπασιν ἱκέτευε, τοῖς ἐν

Θεσσαλονίκῃ, κλεινοῖς Ἁγίοις, ὑπὲρ ταύτης τῆς ποίμνης σου Ἅγιε.

*Θεοτοκίον*

Σωτηρίας με Κόρη ἀξίωσον, τὸν θερμῶς τῇ Σῇ σκέπῃ προσπίπτοντα, καὶ τῶν χειρῶν με λύτρωσαι, τοῦ δολίου Βελίαρ, ἵνα πίστει, ἀνυμνῶ Θεοτόκε τὴν χάριν Σου.

*Καταβασία.*

*Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.*

*Προεόρτιος. Ὠδὴ θ' Ὁ Εἱρμός.*

*Μεγαλύνομεν πάντες, τὴν φιλανθρωπίαν σου, Κύριε Σωτὴρ ἡμῶν, ἡ δόξα τῶν δούλων σου, καὶ στέφανος τῶν πιστῶν, ὁ μεγαλύνας τὴν μνήμην τῆς τεκούσης σε.*

Ὁ πλαξὶν ἐγχαράξας, τὸν τοῦ γράμματος νόμον, χερσὶν ἀγκαλίζεται, Πρεσβύτου ὡς νήπιον, καὶ ἁγιάγραφον ἡμῖν, ὑπαγορεύει νόμον τὸ Εὐαγγέλιον.

Σήμερον ἐν τῷ ναῷ, Συμεὼν ὁ πρεσβύτης, ἀγκάλαις ἐδέξατο, Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ ἐβόησε λέγων· Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα.

Τῶν Ἀγγέλων αἱ τάξεις, ἐν σαρκὶ κατιδοῦσαι, τὸν Κτίστην τὸν ἴδιον, ὡς βρέφος γενόμενον, ἀγκάλαις τοῦ Πρεσβύτου, τοῦτον ἐν φόβῳ ὑμνοῦσαι ἐδόξαζον.

Συμεὼν Θεοδόχε, τοῦ Κυρίου αὐτόπτα, καὶ νόμου καὶ χάριτος, ἀρχὴ καὶ συμπέρασμα, μνείαν ποιοῦ καὶ ἡμῶν, τῶν τιμώντων τὴν σεπτήν σου μετάστασιν.

*Θεοτοκίον*

Χαῖρε πάνσεμνε Ἁγνή, παρθενίας καύχημα, καὶ τοῦ κόσμου ἡ χαρά, Μαρία Μήτηρ καὶ δούλη, τοῦ Σωτῆρος Χριστοῦ, αὐτὸν δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Τοῦ Ἁγίου. Λίθος ἀχειρότμητος.*

Ἱεραρχικῶς Ἱεράρχα, εὐαρεστήσας τῷ Κυρίῳ, καὶ χερσὶν ὁσίαις τελέσας, τὰς σωτηρίους θυσίας Ἅγιε, τῆς οὐρανίου ἔτυχες, Πάτερ Βασίλειε λαμπρότητος.

Μνήμην σου τὴν θείαν τελοῦσα, μετ᾽ ἐγκωμίων Ἱεράρχα, Θεσσαλονικέων ἡ πόλις, ἡ περιώνυμος κληρουχία σου, γεραίρει σε Βασίλειε, ὡς ποιμενάρχην ἐνθεώτατον.

Ὅλῳ τῷ φωτὶ τῆς Τριάδος, ἐν τῇ ἀλήκτῳ Βασιλείᾳ, ἤδη αὐγαζόμενος Πάτερ, λῦσον τὸν ζόφον τῆς διανοίας μου, καὶ πρόσδεξαι τὸν ὕμνον μου, οἷα μικρὸν δῶρον Βασίλειε.

*Θεοτοκίον*

Ὕδατος πηγὴ οὖσα ζῶντος, Χριστὸν ἀφράστως τετοκυῖα, βλῦσον τῇ διψώσῃ ψυχῇ μου, Θεογεννῆτορ ζωῆς τὰ νάματα, καὶ ῥῦσαί με πανάμωμε, ἐκ τῆς μανίας τοῦ ἀλάστορος.

*Καταβασία.*

*Θεοτόκε ἡ ἐλπίς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.*

*Ἐν νόμῳ, σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί, πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ· διὸ πρωτότοκον Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀπειράνδρῳ, μεγαλύνομεν.*

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ὡς Ἱεράρχην Ὅσιον, καὶ πρόεδρον περίδοξον, Θεσσαλονίκη ἡ πόλις, Βασίλειε εὐφημεῖ σε· ἣν φύλαττε πρεσβείαις σου, ἐκ πάσης περιστάσεως, καὶ αἴτει ταύτῃ πάντοτε, εἰρήνην παρὰ Κυρίου, καὶ θεϊκὴν εὐλογίαν.

*Προεόρτιον*

Σαρκὸς ἐν ὁμοιώματι, τεχθεὶς ἐκ τῶν αἱμάτων Σου, ὁ ὑπερούσιος Λόγος, νῦν ὥσπερ βρέφος ὁρᾶται, ἐν ταῖς χερσί Σου πάναγνε, καὶ τῷ Ναῷ προσάγεται, ὃν Συμεὼν δεξάμενος, ὁ δίκαιος ἐν ἀγκάλαις, ᾔνεσε τούτου τὴν δόξαν.

*Αἶνοι. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν ἀρετῶν διαπρέπων τοῖς κατορθώμασι, πολύτιμον δοχεῖον, ἐπιπνοίας τῆς θείας, Βασίλειε ἐδείχθης καὶ τοῦ Χριστοῦ, Ἱεράρχης θεόληπτος, ἱερατεύσας ὡς ἄγγελος ἐπὶ γῆς, τῷ λαμπρῶς σε μεγαλύναντι.

Τοῦ Παρακλήτου τῇ ψήφῳ Πάτερ Βασίλειε, τῆς ἀρχιερωσύνης, τὴν στολὴν ἐνεδύσω, καὶ ταύτην κατεκόσμησας μυστικῶς, ἐναρέτοις σου πράξεσιν, ἀνατυπῶν ἐν τῷ βίῳ τῆς ἀληθοῦς, εὐκληρίας τὴν ἀπόλαυσιν.

Θεσσαλονίκη καυχᾶται ἡ κληρουχία σου· ὅτι ποιμένα θεῖον, ἔσχηκέ σε ἀξίως, Βασίλειε τρισμάκαρ καὶ τὴν σεπτήν, ἑορτάζουσα μνήμην σου, τὴν σὴν ἐκδέχεται Πάτερ ἀπὸ ψυχῆς, θείαν χάριν καὶ ἀντίληψιν.

Ταῖς ὑπὲρ νοῦν λαμπηδόσι καταλαμπόμενος, τῆς παντουργοῦ Τριάδος, καὶ ἀνάρχου Μονάδος, Βασίλειε δυσώπει διὰ παντός, τὸν Σωτῆρα καὶ Κύριον, ἡμῖν διδόναι πταισμάτων τὸν ἱλασμόν, καὶ παθῶν τὴν ἀπολύτρωσιν.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῇ ἀμέμπτῳ ζωῇ, ἡ τῆς ἱερωσύνης χάρις ἐδόθη σοι, τῇ ἀπ᾽ οὐρανοῦ χορηγίᾳ, Ἱεράρχα Βασίλειε· ἔνθεν τρόποις εὐαγγελικοῖς, πρὸς θείαν ἀγάπην παιδεύεις, καὶ πρὸς ἀρετῶν ὁδηγεῖς ἐπιδόσεις, τῶν πιστῶν τὴν διάνοιαν, ὡς ἂν μέτοχοι γένονται, ζωῆς ἀϊδίου, οἱ τῷ θείῳ φόβῳ ἑαυτοὺς ῥυθμίζοντες. Ἀλλ᾽ ὡς τῶν ἀῤῥήτων κοινωνός, καὶ τῆς ἄνω Βασιλείας κληρονόμος, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Προεόρτιον.*

Ὁ παλαιὸς ἡμερῶν, νηπιάσας σαρκί, ὑπὸ Μητρὸς Παρθένου τῷ Ἱερῷ προσάγεται, τοῦ οἰκείου νόμου πληρῶν τὸ ἐπάγγελμα, ὃν Συμεὼν δεξάμενος ἔλεγε.

Νῦν ἀπολύεις ἐν εἰρήνῃ κατὰ τὸ ῥῆμά σου τὸν δοῦλόν σου· εἶδον γὰρ οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου Κύριε.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Βίῳ διαλάμπων πνευματικῷ, τῆς Θεσσαλονίκης, ἀνεδείχθης θεῖος ποιμήν, ὡς Χριστοῦ
θεράπων, Βασίλειε παμμάκαρ· ᾧ πρέσβευε σωθῆναι, τοὺς σὲ γεραίροντας.

